# Σηλύβρια (Ἄρχοντες αὐτῆς Δεσπόται)



Κεφ. Γ'. Περὶ τῶν φορεμάτων ἑκάστου τῶν ἀξιωμάτων καὶ ὀφφικίων

Κωδινός: Ὀφφικιάλιοι Παλατίου Κτλ.

Τὸ περικάλυμμα τῆς κεφαλῆς τοῦ δεσπότου τὸ καλούμενον σκιάδιον ὁλομάργαρον.
Ὁ ἀὴρ αὐτοῦ ἔχει ὀνόματα τοῦ φοροῦντος αὐτό, χρυσοκλαβαρικόν, συρματέϊνον.
Τὰ σεῖα οἷα καὶ τὰ βασιλικά, πλὴν τοῦ κόμβου τῶν φοινίκων.
Τὸ κόκκινον ῥοῦχον αὐτοῦ, ὥσπερ τὸ βασιλικόν, μετὰ ῥιζῶν, ἄνευ τῶν γρατηγαλικίων.
Τὸ ταμπάριον αὐτοῦ κόκκινον μετὰ μαργελλίων.
Αἱ κάλτσαι κόκκιναι.
Τὰ δὲ ὑποδήματα αὐτοῦ διβολέα, χρώματος ὀξέος καὶ λευκοῦ, ἔχοντα ἀετοὺς μαργαριταρεΐνους ἐκ πλαγίων, καὶ ἐπὶ τῶν ταρσῶν, ἤτοι ἐπάνω τῶν ὑποδημάτων τῶν μουζακίων.
Τὰ σίδηρα τῶν τῶν πτερνιστηρίων αὐτοῦ οἷα καὶ τὰ βασιλικά, τὰ δὲ πτερνιστηρόλουρα διβολέα.
Ἡ σέλλα τοῦ ἀλόγου αὐτοῦ διβολέα ὡσαύτως, μετὰ ἀετῶν μαργαριταρεΐνων ἔμπροσθέν τε καὶ ὄπισθεν καὶ εἰς τέσσαρα μέρη τῶν ἱδρομαχίων, ἔχουσα καὶ μαργέλλιον ἔμπροσθεν καὶ ὄπισθεν, ὡς καὶ ἡ βασιλική.
Οὐ μὴν καὶ μετὰ μαργάρων τὸ κοπριτόριον.
Αἱ δὲ σκάλαι οἷαι καὶ αἱ βασιλικαί.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

4/ καὶ αὐτίκα πάλιν πολυχρονίζουσι πάντες.

Ὁ δέ γε δεσπότης τὸν τοῦ βασιλέως κύλας ἀσπάζεται πόδα.

Ἀναστάντος οὖν, ὁ βασιλεὺς περιτίθησιν οἰκειοχείρως τῇ αὐτοῦ κεφαλῇ στέφανον διὰ λίθων καὶ μαργάρων, ἔχοντα καμάρας μικρὰς τέσσαρας ἔμπροσθέν τε καὶ ὄπισθεν καὶ ἐκ πλαγίων, εἰ ἄρα ὁ χειροτονηθεὶς βασιλέως υἱὸς ἐστιν, εἰ δὲ γαμβρὸς τύχοι ὤν, ἔμπροσθεν μόνον· ὃς δὴ στέφανος καλεῖται στεμματογύριον.

Καὶ πολυχρονίζουσιν αὐτῷ.

Ἔπειτα κλεισθέντος τοῦ διαφράγματος, ὁ μὲν βασιλεὺς ἀπέρχεται εἰς τὸ κοιτῶνα αὐτοῦ, ὁ δέ γε δεσπότης εἰς τὸ ἑαυτοῦ ὀσπίτιον μετὰ τῶν ῥηθέντων αὐτοῦ φορεμάτων, πάντων ἀρχόντων ἐφίππων ἀκολουθούντων αὐτῷ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ